BISETVS. Πόειμον αὐτῷ] τὸν ἑαυτῷ πολλοὺς πόρους, καὶ μηχανὰς εὑρίσκειν, καὶ ποιεῖν, τῇ δὲ πόλει οὐδένα πόρον, οὐδεμίαν μηχανὴν ποιεῖ.

A Θαυμάζω. ἢ τὸν δωμάθρον. ἢ τὸν δωμάθρον μὴ δὲ πολλῶν πόρων, καὶ μηχανῶν ἑαυτὸν ὠφελεῖν, τὴν δὲ πόλιν, οὔτε θέλοντα, οὔτε δωμάθρον ὠφελεῖν.

Μάλιστα μὲν λέοντα μὴν πόλει τρέφειν.
Ἢν δ' ἐκτραφῇ τις, τοῖς τρόποις ὑπηρετεῖν.
Διον. Νὴ τὸν Δία τὸν σωτῆρα, δυσκείτως γ' ἔχω.
Ὁ μὲν γὰρ ὀρθῶς εἶπεν, ὁ δ' ἕτερος σαφῶς.
Ἀλλ' ἐπὶ μίαν γνώμην ἑκάτερος εἰπάτω,
Περὶ τῆς πόλεως ἣν τὴν ἔχετον σωτηρίαν;
Εὐ. Εἴ τις πείσας Κλεόκριτον Κινησίᾳ,
Ἄνεμον αὖραν πελαγίαν ὑφ' πλάκα.
Δι. Γελοῖον αὖ φαίνοιτο, νοῦν δ' ἔχει τινά.
Εὐ. Εἰ ναυμαχοῖεν αὖ, κατέχοντές τ' ὀξίδας
Ῥαίνοιεν ἐς τὰ βλέφαρα τῶν ἐναντίων.
Ἐγὼ μὲν οἶδα, καὶ θέλω φράζειν. Δι. λέγε.
Εὐ. Ὅταν τὰ νῦν ἄπιστα πιστ' ἡγώμεθα,
Τὰ δ' ὄντ' ἄπιστα πιστά. Δι. πῶς; οὐ μανθάνω.
Ἀμαθέστερόν πως εἰπὲ, καὶ σαφέστερον.
Εὐ. Εἰ τοῖς πολίταις, οἷσι νῦν πιστεύομεν,
Τούτοις ἀπιστήσαιμεν, οἷς δ' ἀχρώμεθα
Τούτοισι χρησαίμεθ', ἴσως σωθῶμεν αὖ.
Εἰ νῦν γε δυσχεραίνομεν ἐν τούτοισι πῶς
Τἀναντία πράττοντες οὐ σωζοίμεθ' αὖ;
Διον. Εὖ γ' ὦ Παλάμηδες, ὦ σοφωτάτη φύσις,
Ταυτὶ πότερ' αὐτὸς εὗρες, ἢ Κηφισοφῶν.
Εὐ. Ἐγὼ μόνος, τὰς δ' ὀξίδας Κηφισοφῶν.
Διόνυ. Τί δαὶ λέγεις σύ; Αἰσχύλ. πλὴν πόλιν νῦν μοι φράζον

Sed maximè ipsum ne Leonem nutrias:
Sin alueris aliquem, obsecunda moribus.
BA. Ego, per Iouem seruatorem ægrè iudico:
Nam luculenter ille, prudenter hic ait.
Sed adhuc vnam quisque recitet sententiam:
B *Quænám salutis spes est de Republica?*
EV. Si quis Cleocritum applicet, pro alis, Cinesiæ:
Vtrumque venti mox in mare sustollerent.
BA. Hoc ridiculum quidem: at rationem tamen habet.
EV. Si qui nauale facturi sunt prælium,
Acetabula teneant, & loculos hostium
C *Conspergant: ego noui, & dicam. BA. Dic obsecro.*
EV. Si fida quæ sunt, pro infidis habeamus: &
Quæ infida sunt, pro fidis. BAC. non intelligo,
Rudiùs hoc dicas, & aliquantò planiùs.
EV. Si ciuibus, quibus iam nimium fidimus,
Post diffidemus: & quibus non vtimur,
Illis vtamur: erimus salui forsitan.
D *Nam si nunc propter istam causam affligimur,*
Quomodo contraria agentes non seruabimur?
BAC. Euge, ô Palamedes: ô ingenium perspicax:
Tune ipsus hæc inuenisti, an Cephisopho?
EV. Ego solus inueni: sed acetabula Cephisopho.
BA. Quid autem tu dicis? Æs. primùm hoc memora mihi:
E

Σχόλια. Μάλιστα μὲν λέοντα.] μάλιστα μὲν μὴ ἀτρέφειν φρόνημα ἔχοντα, ἐὰν δ' ἀνατρέφῃ μὴ ἐρεθίζειν, ἀλλὰ τιθασοῦσθαι. ὥστε ὁ μὲν Εὐριπίδης συμβεβούλευκε μὴ δέχεσθαι. ὁ δ' Αἰσχύλος, διαπτῶν τινὰ δηλοῖ νοιαν. ἢ μὴ καταδέχεσθαι, ἢ καταδεχομένους, τροποφορεῖν. ἔν τισι δὲ μὴ τὸ πρῶτον, παρήλαγε γράφεται. ὥστε εἰ τὸ μὲν πρῶτον ὁμολογουμένως Αἰσχύλος. ὁ δ' ἑξῆς, ἄδηλον τίνος. ἢ γὰρ Εὐριπίδης δίς ἐστιν ἀποφαινόμενον. ἢ ὁ Διόνυσος ἀνακούειν ἐκείνου αὐτὸς ἢ λέγων. καὶ ταῦτα ἐπεξεργαζόμενος τὸ παρ' Αἰσχύλου λεγόμενον. ἢ ὁ χορός. ἔν τισι δ' ἑνός ἐστι τὰ τρία, τῷ Αἰσχύλου. πρῶτον μὲν, ἀποφατικῶς λέγοντος. τὰ δ' ἑξῆς δύο, μαλακώτερον ὑποτιθεμένου. Εἴτις πλερώσας Κλεόκριτον Κινησίᾳ.] ὁ Κινησίας λεπτὸς ἦν. ὁ δ' Κλεόκριτος μοχθηρός. φησὶν οὖν ὅτι εἴ τις ἀντὶ πλεῦρον Κλεοκρίτῳ Κινησίαν προσβάλοι, ὥστε φέρεσθαι μεταρσίους, συμβήσεται αὐτοὺς ὀλεθρον αὐροφορήτους γενομένους. ἄλλως. εἴτις πλερώσας. ὡς λεπτὸς τρόφρα ὢν κωμῳδεῖται. καὶ ὡς ξένος. καὶ ὡς κόλαξ. ἐμνήσθη δὲ καὶ τοῦ Κινησίου ὡς τούτου καὶ τοῦ Κλεοκρίτου ὁμοφρονούντων. ἀθετεῖ δ' τοὺς πέντε ἐφεξῆς στίχους. ἕως τοῦ, ῥαίνοιεν εἰς τὰ βλέφαρα τῶν ἐναντίων. Ἀριστάρχος. ὅτι φορτικώτεροι εἰσι καὶ εὐτελεῖς διὰ τοῦτο ὑποπλεύονται. Ἀπολλώνιος δ' οὐ διὰ τοῦτο ἀλλ' ὅτι οὐ πρὸς τὴν ὑπόθεσιν ἔχουσί τι. ἐρωμένων δ' αὐτῶν ἑκάτερος μίαν γνώμην λέγει. Κατέχοντες ὀξίδας.] ὀξιδάφους κατέχοντες, ῥαίνοιεν ὄζει τοὺς πολεμίους. ὀξίδες δὲ, κεράμια μικρά. ἢ εἶδος λοπάδος. ταῦτα δ' ἠθετημένα μετρίως ἄν τις νομίσειεν ἐνδιεσκευάσθαι. καὶ γάρ ἐστι φορτικά. τὰ δ' ἑξῆς κείμενα, πρέποντα καὶ τῇ ποιητῇ καὶ τῇ ὑποθέσει. ὅταν φησὶν ὡς νῦν ἔχομεν παρωρωμένους καὶ δοκοῦμεν ἐχθροὺς τῆς πόλεως, τούτους ἐπαναγώμεν εἰς τὸ ἀρχαῖον ἀξίωμα, καὶ πιστοὺς νομίσωμεν. οἷς δὲ νῦν χρώμεθα ὡς πιστοῖς, τούτους ἀπίστους καὶ φθορέας τῆς πόλεως ἡγώμεθα, σωθείη ἡ πόλις. τοῦτο δ' λέγει διότι τοὺς καλοὺς καὶ λυσιτελοῦντας ἄνδρας τῇ πόλει ἀφέντες, ὡς καὶ ὅπωσθεν ἐν τῇ παραβάσει ἔφη, μοχθηροῖς καὶ φαύλοις ἐχρῶντο πρὸς τὰ κοινά. Αμαθέστερόν πως εἰπέ.] ἀργοτέρον καὶ παχύτερον. ἀπαιδευτότερον. ἢ κοινότερον. παρὰ τὴν παροιμίαν σαφέστερόν μοι καὶ μαθέστερον φράζον. Εὖ γ' ὦ Παλάμηδες.] πρὸς τὸν Εὐριπίδην. ὅτι εἰκὸς ἐκ Παλαμήδους πεπλάσθαι ταῦτα. ἢ ἐπειδὴ ὁ Παλαμήδης μηχανικὸς καὶ ἐφευρετὴς ἦν. εὗρε δ' καὶ μηχανὴν σωτηρίας τῇ πόλει, διὰ τοῦτο Παλαμήδην τοῦτον καλεῖ. Ταυτὶ πότερ' αὐτός.] σιωπαθετεῖται τοῖς ἄνω καὶ κάτω. μιμούμενον γὰρ, ἀκριβεῖ τὴν ἐκείνου ἀθέτησιν. ἐν ᾗ φαίνεται τὰ μὲν πρότερα, Αἰσχύλος λέγων. τὰ δὲ ἑξῆς Εὐριπίδης. Τὰς δ' ὀξίδας Κηφισοφῶν.] Τιμόθεος, πόρρωθεν ἐκ λαχανοπωλιδίου φησὶ τὸν Εὐριπίδην διὰ τὰς ὀξίδας.